eul_wid: mfi-ab

*Δημοσθένης ὁ Βιθυνός* · Demosthenes of Bithynia

# Geographical Fragments of Bithynia

*Ἀποσπάσματα περὶ τῆς Βιθυνίας*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Steph. Byz. v. Τάρας: Ἔστι καὶ Τάραντος ἀρσενικῶς λεγομένη πόλις Βιθυνίας, ἔνθα

book 1.2 τιμᾶται

book 1.3 Ταρανταῖος Ζεὺς, ὡς Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν. Εὕρηται καὶ διὰ τοῦ δ′ Δάρανδος.

book 2.1 Idem v. Ταρσός: Ἔστι καὶ Ταρσὸς ἄλλη τῆς Βιθυνίας. Τὸ ἐθνικὸν

book 2.2 ταύτης Τάρσιος καὶ Ταρσία. Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν

book 2.3 Ταρσείαν διὰ τῆς ει διφθόγγου τὴν πόλιν οἶδε. Τὸ ἐθνικὸν Τάρσειος· ἔστι[ln_5]καὶ χωρίον Βιθυνίας Τάρσος λεγόμενον.

book 3.1 Idem: Τευμησσὸς, ὄρος Βοιωτίας. Ὅμηρος ἐν τῷ εἰς Ἀπόλλωνα ὕμνῳ (v. 224) (ἄστυ, ὡς Δημοσθένης ἐν

book 3.2 τρίτῳ Βιθυνιακῶν)· εἰς Μυκαλησσὸν ἰὼν καὶ Τευμησσὸν λεχεποίην.

book 4.1 Idem: Ἀλεξάνδρεια, πόλεις ὀκτωκαίδεκα ... Δευτέρα ἐστι πόλις

book 4.2 Τροίας, ἐν ᾗ ἐγένετο Ἡγήμων ἐποποιὸς, ὃς ἔγραψε τὸν Λευκτρικὸν πόλεμον τῶν Θηβαίων καὶ Λακεδαιμονίων· περὶ ἧς Δημοσθένης ἐν

book 4.3 τετάρτῳ Βιθυ-[ln_5]νιακῶν.

book 5.1 Idem: Ἡραία, ἄκρα οὕτω λεγομένη καταντικρὺ Χαλκηδόνος. Ταύτην δ’ ἐν τῇ συνηθείᾳ Ἡρειάν

book 5.2 φασι

book 5.3 τινες, κακῶς, ἄλλοι δὲ Ἥριον, μυθοποιοῦντες ὡς ἐκεῖσε ὀρύξαντες τάφους χύτρας εὗρον καὶ ὀστᾶ. Πειστέον δὲ[ln_5]μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ δ′ βιβλίῳ· Ἔστι δέ τις

book 5.4 προπάροιθε κλυτῆς

book 5.5 Χαλκηδόνος ἄκρη Ἡραία

book 5.6 τρηχοῦσα, πολυσπιλάς· ἔνδοθι δ’ αὐτῆς λαΐνεον

book 5.7 περὶ τεῖχος ἰὼν κοιλαίνεται εἴσω κόλπος ἁλός· φαίης κεν ἰδὼν βαθυδίνεα πάντη[ln_10]ἔμμεναι. Εἰαμενὴ δὲ καὶ οὐ βύθος ἐστὶ θαλάσσης, ἔνθα

book 5.8 τε νῆας ἀνῆγον, ὀϊόμενοι

book 5.9 σκέπας εἶναι αὐτοφυοῦς ὅρμοιο, κακῷ δ’ ἐνέκυρσαν ἑτοίμῳ.

book 6.1 [ln_1]Idem: Ἀρτάκη, πόλις

book 6.2 Φρυγίας, ἄποικος Μιλησίων ... Τὸ ἐθνικὸν Ἀρτακηνός. Σοφοκλῆς δὲ Ἀρτακεὺς εἶπε ... καὶ Ἀρτάκιος εἶπε Δημοσθένης ἐν ἐννάτῳ Βιθυνιακῶν·[ln_5]Νάσσατο δ' Ἀρτακίοισιν ἐφέστιος αἰγιαλοῖσι. Οὕτω γὰρ αὐτόθι ἡ Ἀφροδίτη καλεῖται.

book 7 [ln_1]Idem: Κοσσὸς, ὄρος Βιθυνίας, ὡς Δημοσθένης Βιθυνιακῶν δεκάτῳ. Οἱ οἰκοῦντες Κοσσαῖοι.

book 8 Idem: Μαυσωλοὶ, οἱ Κᾶρες, ἀπὸ Μαυσωλοῦ. Δημοσθένης δεκάτῳ Βιθυνιακῶν· «Δαίδαλα Μαυσωλῶν.»

book 9.1 Idem: Ἄμαστρις, πόλις

book 9.2 Παφλαγονίας, ... ἀπὸ γυναικὸς

book 9.3 Περσίδος Ἀμαστρίδος, θυγατρὸς Ὀξυάθρου

book 9.4 τοῦ ἀδελφοῦ Δαρείου, ἣ συνῴκησε Διονυσίῳ τῷ Ἡρακλείας

book 9.5 τυράννῳ. Δημοσθένης δ' ἐξ Ἀμαζόνος οὕτω λεγομένης.

book 10.1 Idem: Ἀπολλωνία, πρώτη πόλις Ἰλλυρίας ... κβʹ, τῶν ἐπὶ Θρᾴκης Ἰώνων, ἣν Δημοσθένης

book 10.2 φησίν.

book 11.1 Idem: Δορυλάειον, πόλις

book 11.2 Φρυγίας, ὃ καὶ Δορύλαιον Δημοσθένης

book 11.3 φησί.

book 12.1 Idem: Κρῆσσα, πόλις

book 12.2 Παφλαγονίας, ἣν Μηριόνης μετὰ Τροίαν ἔκτισε, Ζηίλας δὲ εἷλεν ὁ Νικομήδους υἱός. Δημοσθένης γράφει τὸ ἐθνικὸν Κρησσαῖος.

book 13 Steph.: Ὀλιζὼν, πόλις Θεσσαλίας ... Ὠνομάσθη δὲ ἀπὸ τοῦ μικρὰ εἶναι. Θεσσαλοὶ γὰρ, ὡς ἱστορεῖ Δημοσθένης ἐν Κτίσεσι, τὸ μικρὸν ὄλιζον καλοῦσι. Τὸ ἐθνικὸν Ὀλιζώνιος.

book 14.1 Idem: Λάμψακος, πόλις κατὰ τὴν

book 14.2 Προποντίδα, ἀπὸ Λαμψάκης, ἐπιχωρίας

book 14.3 τινὸς κόρης. Ἔστι δὲ Φωκαέων κτίσμα, πάλαι

book 14.4 Πιτυοῦσα λεγομένη, ὡς Δηΐοχος ὁ Κυζικηνός ... ἔστι δὲ εὔοινος ... Δημοσθένης δὲ διὰ τὸ εὔοι-[ln_5]νον καὶ Πριάπου κτίσμα

book 14.5 ταύτην

book 14.6 φησὶ, τοῦ υἱοῦ Ἀφροδίτης καὶ Διονύσου.

book 15.1 Idem: Χαλκεῖα, πόλις Λιβύης· ὁ Πολυΐστωρ ἐν Λιβυκῶν

book 15.2 τρίτῳ, ὡς Δημοσθένης, ᾧ μεμφόμενος

book 15.3 Πολύβιος ἐν τῷ δωδεκάτῳ ὧδε γράφει· «Ἀγνοεῖ δὲ μεγάλως καὶ τὰ περὶ τῶν

book 15.4 Χαλκείων· οὔτε γὰρ πόλις ἐστὶν, ἀλλὰ[ln_5]χαλκουργεῖα.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org